κυκλικοῖς πασχαλίοις κεκοσμημένα τῇ τῆς γραμματικῆς ὀρθότητι κομιδῇ ἐκ μέσου γινόμενα, καὶ κατὰ νοῦν θέμενος τὴν ὅσην βλάβην φέρει τοῦτο τοῖς ἀναγινωσκομένοις, καὶ περὶ τὴν τούτων ἀνατύπωσιν ἀσχολούμενος, ἐνέτυχεν ὑπείξαντι τῷ βουλήματι κυρίῳ Ἀντωνίῳ τῷ Πινέλλῳ τυπογράφῳ, ἀνδρὶ λίαν φιλέλληνι καὶ πρὸς τὸ ἡμέτερον γένος διακαῆ πόθον ἔχοντι. Ὅστις οὐ μόνον τῷ ἔργῳ προθύμως προσεχώρησε, ἀλλὰ κατὰ πάντα ἐναμιλλώμενος ἦν ὑπερακοντῖσαι τὸν προειρημένον Γλυνζώνιον, ὃ δὴ καὶ ἐνεδείξατο, οὐ πόνου φροντίζων, οὐ δαπάνης χρημάτων φειδόμενος, οὐκ ἀμελῶν ἀκριβοῦς διορθώσεως, μᾶλλον δὲ ἴσοις τύποις τοῖς προτέροις, ὡς ἐστὶν ἰδεῖν, ταῦτα κατεκόσμησεν· τοσοῦτον ὂν τἀνδρὸς τὸ καλοκάγαθον πρὸς τὴν τοῦ γένους ὠφέλειαν, οὐδὲν ἧττον καὶ παρ' ἡμῶν ἐπιμελῶς ἐδιορθώθησαν, ἵνα μή τι σφαλερὸν ἐγκαταλειφθῇ, ὡς φθοροποιὸν τῆς ἀληθοῦς γνώσεως. Εἰ δέ τινι ἡμαρτημένῳ ἐντύχοιτε, συγγνώμης ἡμᾶς ἀξιώσατε, οὐκ ἄλλων γὰρ ἀλλ' ἢ χαλκογράφων τὸ πάθος. Ὑμεῖς τοιγαροῦν μὴ ἀμελήσετε τῆς τούτων προσκτήσεως ὄντων ἀναγκαίων πρὸς σωτηρίαν, καὶ εὔξασθε τῇ μεγαλοδώρῳ τε Τριάδι καὶ Μονάδι· τοῖς περὶ τὸ θεῖον τοῦτο ἔργον ἐσπουδακόσι καὶ αὐτοῖς μεγίστην τὴν εὐχαριστίαν ἀπόδοτε. Ἔρρωσθε οἱ ἐντυγχάνοντες.

Ἐνετίῃσι, κατὰ τὸ ͵αχιδ' ἔτος τὸ σωτήριον.

Bibliothèque Mazarine : nº 1156 B.
Bibliothèque du Musée britannique : 871. k. 7.

---

## 81

**ΒΙΒΛΙΟΝ ΤΟΥ ΑΠΡΙΛΛΙΟΥ** ΜΗΝΟΣ, Περιέχον τὴν πρέπουσαν αὐτῷ, ἅπασαν ἀκολουθίαν. Τὸ παρὸν βιβλίον τετύποτε Ἐνετίῃσιν παρὰ Ἀντωνίῳ τῷ Πινέλλῳ. Ἔτει ἀπὸ τῆς θεογονίας ͵αχιδ'. ΜΙΜΗΤΑΙ ΕΣΤΕ ΤΟΥ ΧΡΙΣΤΟΥ.

In-folio de 66 feuillets non chiffrés, divisés en 8 cahiers de 8 feuillets chacun, sauf le dernier qui en a 10. Titre encadré d'un bois. Impression rouge et noire.

Bibliothèque de Théodore Avramiotis.

---